# <u>Ασκήσεις 8</u>

**1) Συντακτική αναγνώριση των υπογραμμισμένων όρων:**

**Ἀθήνα**

ἔξεστι τὸν **<u>γένει</u>** μὲν ἄγχιστον πατρὸς
μέγαν τε δαίμον᾽ ἐν θεοῖς τε τίμιον,
λύσασαν ἔχθραν τὴν πάρος, **<u>προσεννέπειν</u>**;

**Ποσειδῶν**

ἔξεστιν. αἱ γὰρ συγγενεῖς ὁμιλίαι,
ἄνασσ᾽ Ἀθάνα, φίλτρον οὐ σμικρὸν **<u>φρενῶν</u>**.

**Ἀθήνα**

ἐπῄνεσ᾽ ὀργὰς ἠπίους. φέρω δὲ σοὶ
κοινοὺς ἐμαυτῇ τ᾽ **<u>ἐς μέσον</u>** λόγους, ἄναξ.

**Ποσειδῶν**

μῶν ἐκ θεῶν **<u>του</u>** καινὸν ἀγγελεῖς ἔπος,
ἢ Ζηνὸς ἢ καὶ δαιμόνων τινὸς πάρα;

**Ἀθήνα**

οὔκ, ἀλλὰ Τροίας οὕνεκ᾽, ἔνθα βαίνομεν,
πρὸς σὴν ἀφῖγμαι δύναμιν, ὡς **<u>κοινὴν</u>** λάβω.

**Ποσειδῶν**

ἦ πού νιν, ἔχθραν τὴν πρὶν ἐκβαλοῦσα, νῦν
ἐς οἶκτον ἦλθες **<u>πυρὶ</u>** κατῃθαλωμένης;

**Ἀθήνα**

ἐκεῖσε πρῶτ᾽ ἄνελθε. κοινώσῃ λόγους
καὶ συνθελήσεις ἂν ἐγὼ πρᾶξαι θέλω;

**Ποσειδῶν**

μάλιστ᾽. ἀτὰρ δὴ καὶ τὸ σὸν θέλω μαθεῖν.
πότερον Ἀχαιῶν ἦλθες οὕνεκ᾽ ἢ Φρυγῶν;

**Ἀθήνα**

τοὺς μὲν πρὶν ἐχθροὺς Τρῶας εὐφρᾶναι θέλω,
**<u>στρατῷ</u>** δ᾽ Ἀχαιῶν νόστον ἐμβαλεῖν πικρόν.

**Ποσειδῶν**

τί δ᾽ ὧδε πηδᾷς ἄλλοτ᾽ εἰς ἄλλους τρόπους
μισεῖς τε λίαν καὶ φιλεῖς ὃν ἂν τύχῃς;

**Ἀθήνα**

οὐκ οἶσθ᾽ **<u>ὑβρισθεῖσάν</u>** με καὶ ναοὺς ἐμούς;

**Ποσειδῶν**

οἶδ᾽, ἡνίκ᾽ Αἴας εἷλκε Κασάνδραν βίᾳ.

**Ἀθήνα**

**<u>κοὐδέν</u>** γ᾽ Ἀχαιῶν ἔπαθεν οὐδ᾽ ἤκουσ᾽ ὕπο.

**Ποσειδῶν**

καὶ μὴν ἔπερσάν γ᾽ Ἴλιον τῷ σῷ **<u>σθένει</u>**.

**Ἀθήνα**

τοιγάρ **<u>σφε</u>** σὺν σοὶ βούλομαι δρᾶσαι κακῶς.

**Ποσειδῶν**

**<u>ἕτοιμ᾽</u>** ἃ βούλῃ τἀπ᾽ ἐμοῦ. δράσεις δὲ τί;

**Ἀθήνα**

δύσνοστον αὐτοῖς νόστον ἐμβαλεῖν θέλω.

**Ποσειδῶν**

ἐν γῇ **<u>μενόντων</u>** ἢ καθ᾽ ἁλμυρὰν ἅλα;

**Ἀθήνα**

ὅταν πρὸς οἴκους ναυστολῶσ᾽ ἀπ᾽ Ἰλίου.
καὶ Ζεὺς μὲν ὄμβρον καὶ χάλαζαν ἄσπετον
πέμψει, δνοφώδη τ᾽ **<u>αἰθέρος</u>** φυσήματα.
ἐμοὶ δὲ δώσειν φησὶ πῦρ κεραύνιον,
βάλλειν Ἀχαιοὺς ναῦς τε πιμπράναι πυρί.
σὺ δ᾽ αὖ, τὸ σόν, παράσχες Αἴγαιον πόρον
τρικυμίαις **<u>βρέμοντα</u>** καὶ δίναις ἁλός,
**<u>πλῆσον</u>** δὲ νεκρῶν κοῖλον Εὐβοίας μυχόν,
ὡς ἂν τὸ λοιπὸν **<u>τἄμ᾽</u>** ἀνάκτορ᾽ εὐσεβεῖν
εἰδῶσ᾽ Ἀχαιοί, θεούς τε τοὺς ἄλλους σέβειν.

**Ποσειδῶν**

ἔσται τάδ᾿. ἡ χάρις γὰρ οὐ μακρῶν **<u>λόγων</u>**
δεῖται. ταράξω πέλαγος Αἰγαίας ἁλός.
ἀκταὶ δὲ Μυκόνου Δήλιοί τε χοιράδες
Σκῦρός τε Λῆμνός θ᾿ αἱ Καφήρειοί τ᾿ ἄκραι
πολλῶν θανόντων σώμαθ᾿ ἕξουσιν **<u>νεκρῶν</u>**.
ἀλλ᾿ ἕρπ᾿ Ὄλυμπον καὶ κεραυνίους βολὰς
**<u>λαβοῦσα</u>** πατρὸς ἐκ χερῶν καραδόκει,
ὅταν στράτευμ᾿ Ἀργεῖον ἐξιῇ κάλως.
μῶρος δὲ θνητῶν ὅστις ἐκπορθεῖ πόλεις,
ναούς τε τύμβους θ᾿, ἱερὰ τῶν κεκμηκότων,
**<u>ἐρημίᾳ</u>** δοὺς αὐτὸς ὤλεθ᾿ ὕστερον.

**2) Να συμπληρώσετε τα κενά τοποθετώντας τους όρους εντός παρένθεσης στον κατάλληλο τύπο (πτώση / γένος / πρόσωπο / έγκλιση κτλ.):**

**α)** ἱκέτην γέροντα καὶ πένητα μὴ _______________ **(προδίδωμι, β' ενικό Ενεστώτα)**.
**β)** ὥσπερ δὲ θνητὸν καὶ τὸ σῶμ’ ἡμῶν ἔφυ, οὕτω προσήκει μηδὲ τὴν ὀργὴν ἔχειν ἀθάνατον ὅστις _______________ **(σωφρονέω)** ἐπίσταται.
**γ)** εἴθ᾽ ὤφελ᾽ ᾽Αργοῦς μὴ διαπτάσθαι σκάφος Κόλχων ἐς αἶαν κυανέας Συμπληγάδας, μηδ᾽ ἐν νάπαισι Πηλίου πεσεῖν ποτε _______________ **(τέμνω, Μτχ. Παθητικού Αορίστου)** πεύκη, μηδ’ ἐρετμῶσαι χέρας ἀνδρῶν ἀριστέων οἳ τὸ πάγχρυσον δέρας Πελίᾳ μετῆλθον.
**δ)** τὸ ζῆν ἀλύπως ἀνδρός ἐστιν _______________ **(εὐτυχής)**.
**ε)** ἢν οἱ τεκόντες τοῦτο γιγνώσκωσ᾽ ὅτι νέοι ποτ᾽ ἦσαν, ἠπίως τὴν τῶν τέκνων _______________ **(φέρω, Μέλλοντας)** Κύπριν, φύντες οὐ σκαιοὶ φύσιν.